# 2. Chronika 21

Septuaginta (LXX)

**1** καὶ ἐκοιμήθη ιωσαφατ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν πόλει δαυιδ καὶ ἐβασίλευσεν ιωραμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ

**2** καὶ αὐτῷ ἀδελφοὶ υἱοὶ ιωσαφατ ἓξ αζαριας καὶ ιιηλ καὶ ζαχαριας καὶ αζαριας καὶ μιχαηλ καὶ σαφατιας πάντες οὗτοι υἱοὶ ιωσαφατ βασιλέως ιουδα

**3** καὶ ἔδωκεν αὐτοῖς ὁ πατὴρ αὐτῶν δόματα πολλά ἀργύριον καὶ χρυσίον καὶ ὅπλα μετὰ πόλεων τετειχισμένων ἐν ιουδα καὶ τὴν βασιλείαν ἔδωκεν τῷ ιωραμ ὅτι οὗτος ὁ πρωτότοκος

**4** καὶ ἀνέστη ιωραμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ καὶ ἐκραταιώθη καὶ ἀπέκτεινεν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἐν ῥομφαίᾳ καὶ ἀπὸ τῶν ἀρχόντων ισραηλ

**5** ὄντος αὐτοῦ τριάκοντα καὶ δύο ἐτῶν κατέστη ιωραμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ιερουσαλημ

**6** καὶ ἐπορεύθη ἐν ὁδῷ βασιλέων ισραηλ ὡς ἐποίησεν οἶκος αχααβ ὅτι θυγάτηρ αχααβ ἦν αὐτοῦ γυνή καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον κυρίου

**7** καὶ οὐκ ἐβούλετο κύριος ἐξολεθρεῦσαι τὸν οἶκον δαυιδ διὰ τὴν διαθήκην ἣν διέθετο τῷ δαυιδ καὶ ὡς εἶπεν αὐτῷ δοῦναι αὐτῷ λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας

**8** ἐν ταῖς ἡμέραις ἐκείναις ἀπέστη εδωμ ἀπὸ τοῦ ιουδα καὶ ἐβασίλευσαν ἐφ' ἑαυτοὺς βασιλέα

**9** καὶ ᾤχετο ιωραμ μετὰ τῶν ἀρχόντων καὶ πᾶσα ἡ ἵππος μετ' αὐτοῦ καὶ ἐγένετο καὶ ἠγέρθη νυκτὸς καὶ ἐπάταξεν εδωμ τὸν κυκλοῦντα αὐτὸν καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν

**10** καὶ ἀπέστη ἀπὸ ιουδα εδωμ ἕως τῆς ἡμέρας ταύτης τότε ἀπέστη λομνα ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ χειρὸς αὐτοῦ ὅτι ἐγκατέλιπεν κύριον θεὸν τῶν πατέρων αὐτοῦ

**11** καὶ γὰρ αὐτὸς ἐποίησεν ὑψηλὰ ἐν πόλεσιν ιουδα καὶ ἐξεπόρνευσεν τοὺς κατοικοῦντας ἐν ιερουσαλημ καὶ ἀπεπλάνησεν τὸν ιουδαν

**12** καὶ ἦλθεν αὐτῷ ἐγγραφὴ παρὰ ηλιου τοῦ προφήτου λέγων τάδε λέγει κύριος ὁ θεὸς δαυιδ τοῦ πατρός σου ἀνθ' ὧν οὐκ ἐπορεύθης ἐν ὁδῷ ιωσαφατ τοῦ πατρός σου καὶ ἐν ὁδοῖς ασα βασιλέως ιουδα

**13** καὶ ἐπορεύθης ἐν ὁδοῖς βασιλέων ισραηλ καὶ ἐξεπόρνευσας τὸν ιουδαν καὶ τοὺς κατοικοῦντας ἐν ιερουσαλημ ὡς ἐξεπόρνευσεν οἶκος αχααβ καὶ τοὺς ἀδελφούς σου υἱοὺς τοῦ πατρός σου τοὺς ἀγαθοὺς ὑπὲρ σὲ ἀπέκτεινας

**14** ἰδοὺ κύριος πατάξει σε πληγὴν μεγάλην ἐν τῷ λαῷ σου καὶ ἐν τοῖς υἱοῖς σου καὶ ἐν γυναιξίν σου καὶ ἐν πάσῃ τῇ ἀποσκευῇ σου

**15** καὶ σὺ ἐν μαλακίᾳ πονηρᾷ ἐν νόσῳ κοιλίας ἕως οὗ ἐξέλθῃ ἡ κοιλία σου μετὰ τῆς μαλακίας ἐξ ἡμερῶν εἰς ἡμέρας



Druckausgabe erzeugt am 02.08.2025 auf bibelkommentare.de

**16** καὶ ἐπήγειρεν κύριος ἐπὶ ιωραμ τοὺς ἀλλοφύλους καὶ τοὺς ἄραβας καὶ τοὺς ὁμόρους τῶν αἰθιόπων

**17** καὶ ἀνέβησαν ἐπὶ ιουδαν καὶ κατεδυνάστευον καὶ ἀπέστρεψαν πᾶσαν τὴν ἀποσκευήν ἣν εὗρον ἐν οἴκῳ τοῦ βασιλέως καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ οὐ κατελείφθη αὐτῷ υἱὸς ἀλλ' ἢ οχοζιας ὁ μικρότατος τῶν υἱῶν αὐτοῦ

**18** καὶ μετὰ ταῦτα πάντα ἐπάταξεν αὐτὸν κύριος εἰς τὴν κοιλίαν μαλακίᾳ ἐν ᾗ οὐκ ἔστιν ἰατρεία

**19** καὶ ἐγένετο ἐξ ἡμερῶν εἰς ἡμέρας καὶ ὡς ἦλθεν καιρὸς τῶν ἡμερῶν ἡμέρας δύο ἐξῆλθεν ἡ κοιλία αὐτοῦ μετὰ τῆς νόσου καὶ ἀπέθανεν ἐν μαλακίᾳ πονηρᾷ καὶ οὐκ ἐποίησεν ὁ λαὸς αὐτοῦ ἐκφορὰν καθὼς ἐκφορὰν πατέρων αὐτοῦ

**20** ἦν τριάκοντα καὶ δύο ἐτῶν ὅτε ἐβασίλευσεν καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ιερουσαλημ καὶ ἐπορεύθη ἐν οὐκ ἐπαίνῳ καὶ ἐτάφη ἐν πόλει δαυιδ καὶ οὐκ ἐν τάφοις τῶν βασιλέων


Druckausgabe erzeugt am 02.08.2025 auf bibelkommentare.de